1. ἀγαπῶμεν δὲ πάντας τοὺς ἀδελφοὺς ἡμῶν καὶ πάσας τὰς ἀδελφὰς ἡμῶν καὶ παρακαλοῦμεν ζῆν μὴ ἑαυτοῖς ἀλλὰ τῷ κυρίῳ.

2. φοβεῖσθε τοὺς ἄρχοντας τοὺς σταυροῦντας τοὺς ἁγίους προφήτας καὶ διώκοντας τοὺς πιστούς;

3. τὰ τέκνα ἐκάλεσαν τὴν μητέρα αὐτῶν καὶ ᾔτησαν ἄρτον παρ’ αὐτῆς, αὐτὴ δὲ οὐκ ἠδύνατο ἑτοιμάσαι αὐτόν.

4. ὁ διδάσκαλός μου ἐλάλει τοῖς ἁμαρτωλοῖς τούτοις, ἀλλ᾽ οὐκ ἤθελον ἀκολουθεῖν αὐτῷ οὐδὲ περιπατεῖν ἐν τῇ ὁδῷ τοῦ πνεύματος.

5. οἱ τυφλοὶ οὐχ ὁρῶσι τὰ κτισθέντα ὑπὸ θεοῦ, οἱ δὲ ὀφθαλμοὶ τῆς καρδίας αὐτῶν βλέπουσι τὴν βασιλείαν τοῦ οὐρανοῦ.

6. πᾶσαι αἱ γυναῖκες ἐποίησαν ἑαυταῖς καλὰ ἱμάτια, ἀλλὰ πονηροὶ ἄνθρωποι ἔβαλον αὐτὰ εἰς τὴν θάλασσαν.

7. εἰ ζητῶ δοξάζειν ἐμαυτόν, οὔτε πληρώσω τὸν λόγον τοῦ θεοῦ οὔτε ποιήσω τὸ ἔργον πνεύματος.

8. ὁ ἀνὴρ ἐκεῖνος ἐλάλει περὶ ἑαυτοῦ καὶ οὐ περὶ τῆς χάριτος θεοῦ. σὺ οὖν οὐκ ἤκουσας αὐτοῦ οὐδὲ ἠκολούθησας.

9. ἐγὼ οὔπω λογίζομαι ἐμαυτὸν πεπληρωκέναι τὸν πάντα νόμον, ζητῶ δὲ ἀγαπᾶν πάντας τοὺς διώκοντάς με.

10. ὁ μὲν ἄνθρωπος ἐκεῖνος ἐγέννησέν με καὶ τὴν ἀδελφήν μου, ἡμεῖς δὲ οὐ ζῶμεν

ἐν τῷ οἴκῳ αὐτοῦ οὐδὲ περιπατοῦμεν ἐν ταῖς ὁδοῖς αὐτοῦ.

11. ἐδίδαξας ἄλλους φοβεῖσθαι τὸν κύριον· ἐδίδαξας δὲ σεαυτὸν τὸ αὐτὸ ποιεῖν;

12. ὁρᾷ ὁ δοῦλος ἀπὸ τῆς γῆς πλοῖον ἐπὶ τῆς θαλάσσης καὶ καλεῖ τοῖς

ἐργαζομένοις ἐν αὐτῷ.

13. ἡ μήτηρ μου παρεκάλει με καὶ τὴν γυναῖκά μου γεννῆσαι τέκνα, ἡμεῖς δὲ ἔτι ἡτοιμάζομεν ἑαυτούς.

14. ποιῶν σεαυτῷ θρόνον ἐβούλου ἄρχειν τῆς γῆς, ὁ δὲ ἄγγελος τοῦ θανάτου εἶπεν, Ἐν ταύτῃ τῇ νυκτὶ τὴν ψυχήν σου αἰτήσω ἀπὸ σοῦ.

15. σταυρωθέντος τοῦ κυρίου ὑπὸ τῶν ἐξουσιῶν καὶ ἀποθανόντος, ᾐτήσαντο πάντες οἱ ἀκολουθοῦντες αὐτῷ τὸ σῶμα αὐτοῦ.

*NT*

1. πᾶς γὰρ ὁ αἰτῶν λαμβάνει καὶ ὁ ζητῶν εὑρίσκει καὶ τῷ κρούοντι ἀνοιγήσεται. (Matt 7:8)

2. εἶπεν δὲ πρὸς αὐτὸν ὁ ἄγγελος, . . . καὶ ἡ γυνή σου Ἐλισάβετ γεννήσει υἱόν

   σοι καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰωάννην. (Luke 1:13)

3. Πᾶς ὁ πιστεύων ὅτι Ἰησοῦς ἐστιν ὁ Χριστὸς ἐκ τοῦ θεοῦ γεγέννηται, καὶ πᾶς

   ὁ ἀγαπῶν τὸν γεννήσαντα ἀγαπᾷ [καὶ] τὸν γεγεννημένον ἐξ αὐτοῦ. (1 John 5:1)

4. λέγει οὖν αὐτῷ ὁ Πιλᾶτος, Ἐμοὶ οὐ λαλεῖς; οὐκ οἶδας ὅτι ἐξουσίαν ἔχω

ἀπολῦσαί σε καὶ ἐξουσίαν ἔχω σταυρῶσαί σε; (John 19:10)

5. καὶ ἐπληρώθη ἡ γραφὴ ἡ λέγουσα, Ἐπίστευσεν δὲ Ἀβραὰμ τῷ θεῷ, καὶ

ἐλογίσθη αὐτῷ εἰς δικαιοσύνην . . . ὁρᾶτε ὅτι ἐξ ἔργων δικαιοῦται ἄνθρωπος
καὶ οὐκ ἐκ πίστεως μόνον. (Jas 2:23-24)

6. Οὐ δύναμαι ἐγὼ ποιεῖν ἀπ' ἐμαυτοῦ οὐδέν· . . . οὐ ζητῶ τὸ θέλημα τὸ ἐμὸν

ἀλλὰ τὸ θέλημα τοῦ πέμψαντός με. (John 5:30)